**ἀνόμοιος**

Hephaest. 61. 1 sqq. τὰ δὲ <...> ἐπῳδικὰ καλεῖται, ἐὰν δὲ ἐν τῇ πρώτῃ, προῳδικά, ἐὰν δὲ ἐν μέσῳ, μεσῳδικά. ταῦτα μὲν οὖν καὶ ἐν τριάσιν ὁρᾶται· ἐὰν δὲ ὑπερεξαγάγῃ τὴν τριάδα, γίνονται καὶ ἄλλαι ἰδέαι δύο. ἤτοι γὰρ περιῳδικά ἐστιν, ὅταν αἱ μὲν ἑκατέρωθεν ἀνόμοιοι ὦσιν <ἀλλήλαις, αἱ δὲ ἐν μέσῳ> ἀλλήλαις μὲν ὅμοιαι, ταῖς δὲ περιεχούσαις ἀνόμοιοι· ἢ παλινῳδικά, ὅταν αἱ ἑκατέρωθεν ἀλλήλαις μὲν ὦσιν ὅμοιαι, <ταῖς δὲ ἐν μέσῳ ἀνόμοιοι> καὶ αἱ ἐν μέσῳ ταῖς μὲν περιεχούσαις ἀνόμοιοι, <ἀλλήλαις δὲ ὅμοιαι>.

Hephaest. 63. 4 sqq. σύστημα δέ ἐστι μέτρων συναγωγή, ἤτοι δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων· ἀνομοίων μέν, ὡς τὰ ἐλεγεῖα [ἑξαμέτρου γάρ ἐστι πρὸς πεντάμετρον κοινωνία·] καὶ οἱ ἐπῳδοί· τὸ δὲ ἐξ ὁμοίων, ὡς τὸ δεύτερον Σαπφοῦς, ὡς προϊόντες δείξομεν.

Hephaest. 66. 24 sqq. ἐπῳδικὰ δέ ἐστιν, ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. δηλονότι ἐπ᾽ ἔλαττον μὲν τοῦ τῶν τριῶν ἀριθμοῦ οὐκ ἂν γένοιτό τι τοιοῦτον, ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι· γίνεται γὰρ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς καὶ πεντὰς καὶ ἐπὶ πλεῖον. τοῦ δὲ ἐπῳδικοῦ γένους τὰ μέν ἐστιν ὁμωνύμως αὐτῷ καλούμενα ἐπῳδικά, τὰ δὲ προῳδικά, τὰ δὲ μεσῳδικά, τὰ δὲ περιῳδικά, τὰ δὲ παλινῳδικά. ἐπῳδικὰ μὲν οὖν ἐστιν, ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται, ὡς τά γε πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται. προῳδικὰ δέ ἐστιν, ἐν οἷς τὸ ἀνόμοιον προτέτακται τῶν ὁμοίων. μεσῳδικὰ δὲ ἐν οἷς περιέχει μὲν τὰ ὅμοια, μέσον δὲ τὸ ἀνόμοιον τέτακται. παλινῳδικὰ δὲ ἐν οἷς τὰ μὲν περιέχοντα ἀλλήλοις ἐστὶν ὅμοια, ἀνόμοια δὲ τοῖς περιεχομένοις· τὰ δὲ περιεχόμενα ἀλλήλοις μὲν ὅμοιά ἐστιν, ἀνόμοια δὲ τοῖς περιέχουσι. περιῳδικὰ δέ, ἐν οἷς τὰ μὲν περιεχόμενα ἀλλήλοις ἐστὶν ὅμοια, τὰ δὲ περιέχοντα οὔτε ἀλλήλοις οὔτε τοῖς περιεχομένοις. κατὰ περικοπὴν δέ ἐστιν ἀνομοιομερῆ, ὁπόταν ἐκθέμενος ὁ ποιητὴς ὁπόσα δήποτε συστήματα διάφορα ἐπαγάγῃ ἐκ τῶν αὐτῶν συστημάτων συνεστῶσαν περικοπήν, ὥστε τὰ μὲν ἐν ἑκατέρᾳ ἢ ἑκάστῃ περικοπῇ συστήματα ἀνόμοια εἶναι ἀλλήλοις, τὰς δὲ περικοπὰς ἀμφοτέρας ἀλλήλαις ὁμοίας ἢ πάσας. ἀντιθετικὰ δέ ἐστιν, ὁπόταν ὁ ποιητὴς γράφῃ ὁπόσα δήποτε κῶλα [ὡς] ἀνόμοια καὶ ὡς βούλεται, εἶτα τούτων ἀνταποδῷ τῷ μὲν τελευταίῳ τὸ πρῶτον, τῷ δὲ δευτέρῳ ἀπὸ τέλους τὸ δεύτερον, καὶ οὕτω πάντα κατὰ τὸν αὐτὸν λόγον. τοῦτο δὲ τὸ εἶδος παρὰ μὲν τοῖς παλαιοῖς σπανιώτατόν ἐστι, παρὰ δὲ Σιμίᾳ τῷ Ῥοδίῳ ἐστὶν οὕτω πεποιημένα ἐν τῷ ἐπιγραφομένῳ Ὠιῷ. μικτὸν δέ ἐστι κατὰ σχέσιν ποίημα, ἐν ᾧ ἐστι μέρη τινά, ἅπερ ἔφαμεν εἶναι τοῦ κατὰ σχέσιν εἴδη, οἷον λόγου χάριν τό τε ἐπῳδικὸν καὶ τὸ μεσῳδικόν. κοινὸν δέ ἐστι κατὰ σχέσιν τὸ δύο [συστήμασιν] ὑποπεπτωκός, καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ᾆσμα· (fr. 3 [PMG 348]. 1 sqq. Page)

γουνοῦμαί σ᾽, ἐλαφηβόλε,
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν᾽ Ἄρτεμι θηρῶν

καὶ τὰ ἑξῆς. κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν ὀκτάκωλός ἐστιν ἡ στροφή, καὶ τὸ ᾆσμά ἐστι μονοστροφικόν. δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι εἴς τε τριάδα καὶ

πεντάδα ἡ στροφή, ὥστε φερεκράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος τοῦ ἐκ τῶν τριῶν κώλων καὶ τῶν πέντε.

Hephaest. 73. 18 sqq. ἐὰν δὲ κατὰ περικοπὴν τὰ ᾄσματα ᾖ γεγραμμένα, ὥστε εἶναι στροφὴν καὶ ἀντίστροφον καὶ ἐπῳδόν, ἡ παράγραφος ἐπὶ μὲν τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστρόφου κεῖται, ἐπὶ δὲ τῇ ἐπῳδῷ ἡ κορωνίς· καὶ οὕτως ἡ παράγραφος, ἣ διορίζει τά τε ὅμοια καὶ τὰ ἀνόμοια.

Arist. Qvint. *de mus.* I 17 (p. 37. 17 Winnington-Ingram) δόχμιοι δὲ ἐκαλοῦντο διὰ τὸ ποικίλον καὶ ἀνόμοιον καὶ μὴ κατ᾽ εὐθὺ θεωρεῖσθαι τῆς ῥυθμοποιίας.

Schol. vet. in Pind. *praef.* (III, p. 307. 7 sqq. Drachmann) ἐπειδὴ λυρικός ἐστιν ὁ Πίνδαρος, καὶ πρὸς λύραν ᾄδονται τὰ ποιήματα αὐτοῦ, κατὰ τριάδας, στροφήν, ἀντίστροφον καὶ ἐπῳδόν, καὶ ἐκ κώλων τὰ μέλη συνίστανται· πλὴν ὅσων καὶ ὁποίων ἡ στροφή, ἐκ τοσούτων καὶ τοιούτων καὶ ἡ ἀντίστροφος , ἡ δὲ ἐπῳδὸς ἀνόμοιός ἐστι πρὸς αὐτάς, καὶ εἰκότως.

Schol. in Aesch. *Pers.* 1 (p. 30. 6 sqq. Massa Positano) τὰ παρόντα εἴδη τοῦ χοροῦ ἑτέρως εἰσὶν ἐσχηματισμένα, ὡς καὶ ἀλλαχοῦ εἴρηται· τὰ μὲν γάρ εἰσιν μονοστροφικὰ καὶ συστηματικὰ ἐξ ὁμοίων κατὰ περιορισμοὺς ἀνίσους (σύστημα δέ ἐστιν, ὡς Ἡφαιστίων [p. 63. 4 sq.] φησί, μέτρων συναγωγὴ ἢ δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων)· τὰ δὲ κατὰ σχέσιν.

Schol. in Aesch. *Prom.* 397 (p. 31 Smyth) εἰσὶ δὲ τὰ παρόντα εἴδη καὶ μέλη ἐπῳδικὰ ὡς Ἡφαιστίων φησίν (p. 66. 24 sqq)· «ἐπῳδικὰ δέ ἐστιν ἐν οἷς ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται … γίνεται δὲ ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς καὶ πεντάς, καὶ ἐπὶ πλεῖον». ἔστι γοῦν τὰ παρόντα πεντὰς ἐπῳδική.

Schol. A in Hephaest. 166. 18 sq. ἀνόμοιοι δέ εἰσιν, ὅταν οἱ μὲν σύγκειται ἐξ ἀντισπαστικῶν, οἱ δὲ εἰ τύχοι ἐξ χοριαμβικῶν.

Schol. A in Hephaest. 170. 11 sqq. εἰκότως δὲ οὐκ ἔστιν ἔλαττον <τοῦ> τῶν τριῶν ἀριθμοῦ· τὸ γὰρ ὅμοιον τῶν πρός τι· τινὶ γὰρ ὅμοιον. προστίθεμεν δὲ καὶ τὸ ἀνόμοιον. καὶ πάντως γίνεται † ὁ τρίτος ἔκτος.

Schol. A in Hephaest. 171. 3 sqq. οἷον <ὅταν> δύο ἢ πλείονα ἀνόμοια ἀλλήλοις καὶ ἑξῆς ἐπαγάγῃ τοσαῦτα συστήματα ὅμοια τοῖς προκειμένοις, πάλιν ἀλλήλοις μὲν ἀνόμοιά ἐστιν, ἀνταποδιδόμενα δὲ τοῖς προκειμένοις συστήμασιν· οἷον εἰ τύχοι δύο περικοπαὶ ἐκ τριῶν συστημάτων αβγ αβγ. ταῦτα ἀλλήλοις ἀνόμοια, ἐπιφερομένων δὲ αὐτοῖς ὁμοίων γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές· τοιαῦτα δέ ἐστιν ἐν δυάδι τὰ ἐν ταῖς κωμικαῖς παραβάσεσιν· οἷον τὸ μέλος καὶ τὸ ἐπίρρημα ἑξῆς κείμενα ἀλλήλοις ἐστὶν ἀνόμοια, ἀλλ᾽ ἐπαγομένου αὐτοῖς τοῦ τε ἀντιστρέφοντος τῷ μέλει καὶ τοῦ ἀντεπιρρήματος, γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές, τῶν μὲν περικοπῶν ἀντιστρεφουσῶν ἀλλήλαις, τῶν δὲ μερῶν αὐτῶν ἀνομοίων ὄντων ἀμφοτέρας ἀλλήλοις· ὥστε τὰ ἐν ταῖς παραβάσεσι τῶν κωμῳδιῶν κατὰ διστιχίαν ἀλλήλοις ἀνταποδιδόμενα, ἤγουν κατὰ τὸ αὐτὸ μέτρον, δακτυλικὸν ἢ ἄλλο ὅμοιον, σπανιώτατά ἐστιν. [*R.S.*]